# Δημόκριτος.

## 56 Ἄδηλον

Ἀνθολογία ἐπιγραμμάτων. ἐκδ. Διδότου Παρίσιοι 1864 Τ. Α' σ. 284-5

Ἦν ἄρα Δημοκρίτου γέλως τόδε, καὶ τάχα λέξει
«Οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μετ' ἀπείρονα, καὶ τόσα βίβλων
θεσπεσίων, κεῖμαι νέρθε τάφοιο γέλως.»

## 57. Ἄλλο.

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τοσοῦτον,
ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
ὃς θάνατον παρεόντα τρί' ἤματα δώμασιν ἔσχεν,
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

## 58 Ἰουλιανοῦ ἀπὸ ὑπάρχ. Αἰγυπτ.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν
ἀχνυμένην ἐπὶ σοὶ μοῦνος ἔκαμψε γέλως.

## 59. Τοῦ αὐτοῦ

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων καὶ γελόωντα λάχοις.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Δημόκριτος.



## 56 Ἄδηλον

Ἀνθολογία ἐπιγραμμάτων. ἐκδ. Διδότου Παρίσιοι 1864 Τ. Α΄ σ. 284-5

Ἦν ἄρα Δημοκρίτου γέλως τόδε, καὶ τάχα λέξῃ
«Οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μεθ᾽ ἀπείρονα, καὶ τόσα βίβλων
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.»

## 57. Ἄλλο.

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τόσσον,
ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
ὃς θάνατον παρεόντα τρί᾽ ἤματα δώμασιν ἔσχεν,
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## 58 Ἰουλιανοῦ ἀπὸ ὑπαρχ. Αἰγυπτ.

Εἰ καὶ ἀμειλίκτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σὲ τεκοῦσαν
ἀχνυμένην ἐπὶ σοὶ μοῦνος ἔκαμψε γέλως.

## 59. Τοῦ αὐτοῦ

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσοις
αἰὲν ἀμειδήτων καὶ γελόωντα λάχοις.